UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Nicolai Cavssini Trecensis, E Societate Iesv, De Eloqventia Sacra Et Hvmana Libri XVI

**Caussin, Nicolas**

**Coloniae Agrippinae, 1634**

39. Amplificatio breuis miseriarum vitę, per Synathroismum. D. Chrysost. tractatu, Quòd nemo læditur nisi à seipso. (pa. 577.)

urn:nbn:de:hbz:466:1-70090

Visual Library

*Amplificatio breuis miseriarum vitæ, per synathroismum.*

D. Chrysost. tract. quòd nemo læditur nisi à seipso, pag. 577.

## CAPVT XXXIX.

Φέρε δὴ τὰ προσωπεῖα ἀφελόντες τὰ φαιδρὰ καὶ περιφανῆ τῆς αἰσχρᾶς καὶ δυσειδοῦς τῶν πραγμάτων ὄψεως τούτων, δείξωμεν τῆς ἑταιριζομένης γυναικὸς τὴν βδελυγμίαν. τοιοῦτον γὰρ ἡ τοιαύτη ζωὴ, ἡ τρυφαῖς, καὶ πλούτῳ, καὶ δυναστείαις προσέχουσα, τὸ αἰσχρὸν, καὶ δυσειδὲς, καὶ πολλῆς βδελυγμίας γέμον, τὸ ἀηδὲς, καὶ φορτικὸν, καὶ πικρίας ἐμπεπλησμένον. καὶ γὰρ δὴ τοῦτο μάλιστά ἐστι τὸ πάσης ἀποστεροῦν τοὺς ἁλόντας συγγνώμης· ὅτι καὶ ἀηδίας, καὶ πολλῆς τῆς πικρίας ἐμπεπλησμένος ὁ βίος οὗτος, ποθεινός τε αὐτοῖς, καὶ περισπούδαστός ἐστι, καὶ μυρίων γέμων κακῶν, κινδύνων, αἱμάτων, κρημνῶν, σκοπέλων, καὶ φόνων, καὶ φόβων, καὶ τρόμων, καὶ φθόνου, καὶ βασκανίας, καὶ ἐπιβουλῆς, καὶ φροντίδος διηνεκοῦς, καὶ μερίμνης, καὶ κέρδος ἔχων οὐδὲν, οὐδὲ καρπὸν τῶν τοσούτων κακῶν οὐδένα φέρων, ἀλλ' ἢ κόλασιν, καὶ τιμωρίαν, καὶ τὸ διηνεκῶς βασανίζεσθαι.

AGe verò speciosis laruis, à turpi, ac deformi facie detractis, meretricis mulieris fœditatem ostendamus. Talis enim est vita ad voluptates, diuitias, & honores proiecta, infamis, inquinata, flagitijs ac sordibus oppleta, molesta, grauis, multisque acerbitatibus oppressa. Hoc enim est, quod huius amore delinitis omnem adimit veniam, quòd cùm tot rerum asperitatibus sit referta, desideratur ab eis, & magnoperè expetitur, plena capitis discriminibus, præcipitijs, scopulis, cædibus, timoribus, terroribus, inuidia, perpetua cura, & solicitudine; quodque nullum lucrum, nullum fructum tantorum laborum afferat, nisi pœnam, ac supplicium, & æternos cruciatus.

*Amplificatio auaritiæ per effecta, & imagines.*

D. Chrysost. tract. quòd nemo læditur nisi à seipso, pag. 578.

## CAPVT XL.

Λύσσα τις ἀνίατος, καὶ μανία ἀκάθεκτος, καὶ νόσος ἀδιόρθωτος, τὰς πάντων κατέχει ψυχάς· καὶ παντὸς ἔρωτα οὗτος νικήσας ὁ ἔρως, καὶ παρωσάμενος, ἐξέβαλε τῆς ψυχῆς· καὶ οὔτε φιλίας, καὶ συγγενείας οὔτε γυναικὸς καὶ παίδων, οὗ τί γένοιτ' ἂν ἀνδράσι ποθεινότερον; ἀλλὰ πάντα χαμαὶ ἔρριπται, καὶ καταπεπάτηται, τῆς ὠμῆς ταύτης, καὶ ἀπανθρώπου δεσποίνης τῶν ἁλόντων τὰς ἁπάντων καταλαβούσης ψυχάς. καὶ γὰρ ὡς δέσποινα τούτων ἀπάνθρωπος, καὶ ὡς τύραννος ἀπηνής, καὶ ὡς βάρβαρος ὠμή, καὶ ὡς πόρνη πάνδημος, καὶ πολυτελής, καταισχύνει, καὶ κατατείνει, καὶ μυρίοις κολάζει κινδύνοις τε καὶ τιμωρίαις, τοὺς ἑλομένους δουλεύειν αὐτῇ· καὶ φοβερά τις οὖσα, καὶ ἀμείλικτος, ἀγρία τε, καὶ ἀπηνής, πρόσωπον ἔχουσα βαρβαρικόν, μᾶλλον δὲ θηριῶδες, καὶ λύκου καὶ λέοντος ἀγριώτερον, προσηνής τις εἶναι δοκεῖ, καὶ ποθεινή, καὶ μέλιτος γλυκυτέρα τοῖς αἰχμαλωτισθεῖσιν ὑπ' αὐτῆς, καὶ ξίφη καὶ ὅπλα καθ' ἑκάστην κατ' αὐτῶν χαλκεύουσα, τὴν ἡμέραν, βάραθρα ἀνορύττουσα, καὶ ἐπὶ κρημνοὺς ἄγουσα, καὶ σκοπέλους, καὶ μυρία αὐτοῖς πλέκουσα κολάσεως δίκτυα, ζήλῳ τοὺς αὐτοὺς νομίζεται ποιεῖν, τοῖς τε ἡλωκόσιν αὐτοῖς, τοῖς τε ἐπιθυμοῦσιν ἁλῶναι· καὶ καθάπερ ὗς ἐν ἀμάρᾳ, καὶ βορβόρῳ ἐγκυλινδουμένη ἥδεται, καὶ τρυφᾷ καὶ κάνθαροι, κόπρον συνεχῶς ἀνελίττοντες· οὕτω δὴ καὶ οἱ τῇ φιλαργυρίᾳ ἁλόντες, τῶν ζώων τούτων εἰσὶν ἀθλιώτεροι.

RAbies quædam desperata, furor effrænatus, morbus insanabilis omnium animos obtinet. Hic amor omnem funditus amorem extinctum, atque oppressum eijcit ex animo. Neque amicitiæ ratio habetur, neque cognationis. quid dico amicitiæ, & cognationis? non vxoris, & liberum, quo quid viuis potest esse charius: sed omnia humi abiecta, & concul-

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN